www.tezaurliturgic.ro

+

# ΚΑΝΩΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΥΜΕΩΝ ΤΟΥ ΑΝΥΠΟΔΗΤΟΥ,

# ΚΑΙ ΜΟΝΟΧΙΤΩΝΟΣ

## ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΦΛΑΜΟΥΡΙΟΥ

(ἑορταζομένου τῇ 19η Ἀπριλίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2002 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΣΥΜΕΩΝ ΤΟΝ ΜΟΝΟΧΙΤΩΝΑ & ΑΝΥΠΟΔΗΤΟΝ, ΚΤΙΤΟΡΑ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΦΛΑΜΟΥΡΙΟΥ

**Κανών, οὗ ἡ ἀκροστιχίς:**
*"Σύ μοι Χριστῷ, Συμεὼν ἀνυπόδητε, εὔχου. Ἀ(θανάσιος)".*

*Ὠιδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Συμεὼν ὁσιωτάτου Φλαμουρίου Μονῆς,
κτίτορος νῦν τελεῖται,
μνήμη σεπτὴ καὶ ἱερά·
δεῦτε οὖν χαρμονικῶς,
ἐν ὕμνοις πιστοί,
αὐτὸν ἀνυμνήσωμεν,
καὶ ψαλμοῖς Χριστὸν δοξάσωμεν.

Ὑπὲρ πάντα ἀγαπήσας τὸν Χριστὸν Συμεών,
τούτου σταυρὸν ἐπ᾽ ὤμων,
ἀναλαβὼν ἀποταγῆς,
ἀρεταῖς θεωτικαῖς,
συνήφθης αὐτῷ,
καὶ γέγονας ἄριστον,
μαθηταῖς σου πάτερ πρότυπον.

Μελετήσας τῶν Πατέρων βίους τοὺς θαυμαστούς,
μέλιττά τις καθάπερ,
ἐκ πάντων μέλι νοητόν,
ἀπετρύγησας σοφῶς,
κλεινὲ Συμεών,
δι᾽ οὗ ἐκτρεφόμενος,
ἁγιότητα κατώρθωσας.

*Θεοτοκίον*

Ὁ Υἱός σου Θεοτόκε ἐκ νεκρῶν ἀναστάς,
πᾶσι ζωὴν παρέσχε,
διὸ χριστώνυμος λαός,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τὴν ᾿Ανάστασιν αὐτοῦ,
ὑμνοῦμεν φαιδρῶς,
καὶ μνήμην γεραίρομεν,
Συμεὼν μονοχίτωνος.

*᾿Ωιδὴ γ'. Δεῦτε πόμα πίωμεν.*

Ἵνα ἐπιτύχῃς Συμεών,
ἐσωτάτου σου πόθου τὸ μέγα θήραμα,
τόπους διήμειψας πολλούς,
καὶ ἐκραύγαζες Χριστῷ ἐκ βάθους ψυχῆς·
τὸ πρόσωπον δεῖξόν μοι,
σοῦ Νυμφίε μου γλυκύτατε.

Χαίρων ὑπετάγης Συμεών,
Παχωμίῳ ποιμένι πάσῃ δυνάμει σου,
καὶ παιδευθεὶς ἱερῶς,
Σχῆμα τὸ ἀγγελικὸν ὑπέδυς σεμνῶς,
βιώσας ἐν σώματι,
ἀσωμάτων βίον ἄϋλον.

Ῥήματα γραφῶν τῶν ἱερῶν,
ὡς μαχαίρας τοῦ Πνεύματος ἔχων Ὅσιε,
παθῶν κατέσφαξας ἑσμόν,
καὶ δακρύων ταῖς ῥοαῖς φυτὰ ἀρετῶν,
ποτίζων ἀπέλαβες,
τοὺς καρποὺς πολλαπλασίονας.

*Θεοτοκίον*

Ἴαμα ἐφάνη σωστικόν,
τοῦ Υἱοῦ σου τὸ Αἷμα Παρθένε ἄχραντε,
δι᾽ οὗ ἰὸν τοῦ πονηροῦ,
ἐξεμέσαμεν πιστοὶ καὶ νῦν τῆς ζωῆς,
μετέχομεν ἅπαντες,
εἰ Θεοῦ νόμον φυλάσσομεν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ δ'. Ἐπὶ τῆς θείας φυλακῆς.*

Στάσιν ὁλόνυκτον, εὐχάς,
νηστείαν πάτερ Συμεών,
μίξας σου τῷ βίῳ σωφρόνως,
ἐν Κομηνείου τῇ Μονῇ,
ἀθλητὴς πνευματικός,
ἐδείχθης Χριστοῦ,
μονίμοις τὰ πρόσκαιρα,
ἀνταλλάσσων ὥσπερ ἔμπορος.

Τρόποις πολλοῖς καὶ μυστικοῖς,
ἐκμειλιξάμενος Χριστόν,
εἴληφας χαρίτων τὸ πλῆθος,
καὶ ὡς πολύφορός τις ναῦς,
εἰς λιμένα Συμεὼν τοῦ Ἄθω ἐλθών,
σωροὺς συνεστοίβασας,
τοῖς προτέροις κατορθώμασι.

Ὡς καθαρὸς τῷ καθαρῷ,
διακονήσας Ἰησοῦ,
πάτερ Συμεὼν ἐνετρύφας,
ὅτε παρίστασο Αὐτῷ,
λειτουργίαις ἱεραῖς συνάγων τὸν νοῦν,
καὶ ἄνω μυστήρια,
μυστικῶς ἐνοπτριζόμενος.

*Θεοτοκίον*

Σὺν Μυροφόροις γυναξίν,
ἐπὶ τὸν τάφον Ἰησοῦ,
Δέσποινα ὀρθρίσασα πρώτη,
τοῦτον ἑώρακας Σεμνή,
ἀναστάντα ἐκ νεκρῶν καὶ πᾶσι φαιδρῶς,
εἰπόντα τὸ "Χαίρετε",
εἰρηνόδωρον ἤκουσας.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Ὑφῆπτες τὸ πῦρ τῆς ψυχῆς σου,
βάλλων ὡς ὕλην ἀγάπην τὴν θείαν καὶ αἰωνίαν,
Συμεὼν φιλόθεε,
ὅθεν πυρπολούμενος,
ὅλος ἐγένου χριστόφλεκτος κάμινος.

Μὴ θέλων τὸ σκάνδαλον ἀδελφοῦ σου,
τὴν κόμην ἔκειρας πάτερ σοφῶς ἐκδιδάξας,
πάσης ἀστειότητος,
μένειν δεῖ ἀμέτοχον,
τὸν Ἰησοῦ μιμητὴν ὁσιώτατε.

Ἐτέθης εἰς λύχνον ἡγουμενείας,
τῆς Φιλοθέου Μονῆς πάτερ ὅσιε ἄκων,
ἀλλὰ ὅτε ἤλεγξας,
μοναχῶν τὰ σκάνδαλα,
εἰς φυλακὴν ἐνεκλείσθης μακάριε.

*Θεοτοκίον*

Ὡραῖος ἀνέτειλεν ἐκ τοῦ τάφου,
ὁ ὑπερβάλλων τῷ κάλλει υἱοὺςτῶν ἀνθρώπων,
Ἰησοῦς Πανάμωμε,
Ὃν ἀεὶ ἱκέτευε,
ὡραϊζειν ψυχὰς τῶν τιμώντων σε.

*Ὠιδὴ ϛ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.*

Νικήσας,
τοὺς τρεῖς ἐχθροὺς Συμεών,
σεαυτὸν σατανᾶν καὶ τὸν κόσμον,
ἀνῆλθες εἰς ἀπαθείας τὸ φῶς,
καὶ ἐδίδαξας,
ὡς θεόπτης Μωϋσῆς,
τοὺς κλεινοὺς μαθητάς σου.

Ἀσκήσας,
ὑπομονὴν κραταιάν,
ὑποκάτωθεν μηλέας διῆλθες,
ζωήν σου ὥσπερ ἀσώματός τις,
καὶ ἐκέρδησας,
Συμεὼν τὸν Χριστόν,
θησαυρὸν ποθητόν σοι.

Νοήσας,
τῶν ὁρωμένων φθοράν,
ἀνυπόδητος διῆλθες σὸν βίον,
καὶ ἕνα χιτῶνα ἔχων σοφέ,
τοῦ Δεσπότου σου,
Συμεὼν ἐντολήν,
ὑπερέβης σωφρόνως.

*Θεοτοκίον*

Ὑπνώσας,
ὡς σκύμνος λέοντος τρεῖς,
ἐν ἡμέραις ὦ Παρθένε Υἱός σου,
ἐξῆλθεν ὡς ἐκ παστάδος φαιδρός,
χαριζόμενος,
αἰωνίαν ζωὴν,
τοῖς κειμένοις ἐν τάφοις.

*Ὠιδὴ ζ'. Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.*

Πιστεύων,
τῇ προνοίᾳ τοῦ Πλάσαντος,
τοὺς πόθῳ σοι προσπίπτοντας,
θεῖε Συμεών,
ἐν σχήματι ἀγγελικῷ,
μετ᾽ εὐχῆς πατρικῆς περιέβαλλες,
παρέχων ζωήν σου τὴν ἁγίαν,
αὐτοῖς ὡς ὑπόδειγμα.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οὐ μόνον,
μοναχούς σου διέθρεψας,
γλυκέσι προσρήσεσιν,
ἀλλ᾽ ὡς ποταμός,
βρύων διδάγματα ζωῆς,
κατεπότισας πλήθη μακάριε,
ποθῶν τὴν αὐτῶν σωτηρίαν,
ἀγάπη νυττόμενος.

Διδάσκων,
τοῦ Κυρίου διδάγματα,
ἐδέθης καὶ ὡς πρόβατον,
ἤχθης Συμεών,
ἐν τῇ Χαλκίδι εἰς πυράν,
ἀλλ' ἐρρύσθης ἐξαίφνης μακάριε,
δοξάζων ἐξ ὅλης καρδίας,
Θεὸν τὸν σὲ λυτρώσαντα.

*Θεοτοκίον*

Ἡ δόξα,
τοῦ Ἀναστάντος Πανάμωμε,
φωτίζοι ἡμῶν πρόσωπα,
τῶν ὅλη ψυχῇ,
ὁμολογούντων σε ἁγνῶς,
καὶ ἀμώμως ἐν κόσμῳ γεννήσασαν,
Χριστὸν τοῦ Πατρὸς Υἱὸν τὸν ἕνα,
καὶ μόνον ὑπερένδοξον.

*Ὠιδὴ η'. Αὕτη ἡ κλητή.*

Τείχει τὴν σεπτὴν καὶ ἁγίαν σου Μάνδραν,
ἐτείχισας παμμάκαρ,
καὶ τῇ πανσέπτῳ Τριάδι,
ἀναθεὶς Συμεών,
ἐργαστήριον ἀπέδειξας ἅγιον,
ἐν ᾗ εὐλογεῖται,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεὸς εἰς τοὺς αἰῶνας.

Ἔδωκας ψυχὴν Συμεὼν τῷ Δεσπότῃ,
ἐν Κωνσταντινουπόλει,
καὶ ἄνω Πόλιν εὗρες,
ἔνθα ἄπλετον φῶς,
καθορᾷς τοῦ ἀφθάρτου Νυμφίου σου,
Ὃν μὴ διαλίπῃς,
ὑπὲρ ἡμῶν πρεσβεύειν.

Ἔχων πρὸς Χριστὸν Συμεὼν παῤῥησίαν,
καὶ τῆς θαυματουργίας,
τὴν χάριν ἡμῖν δίδου,
ἐκκαθαίρειν ψυχάς,
καὶ στολίζειν ἀρεταῖς αἷς εὐφραίνεται,
ὁ ἡμῶν Δεσπότης,
ψυχεραστὴς ὁ μέγας.

*Θεοτοκίον*

Ὕψωσον ἡμῶν καὶ τὸν νοῦν καὶ καρδίας,
ὦ Πάναγνε πρὸς ὕψος,
τῆς θείας Βασιλείας,
ὡς μηδόλως ὁρᾷν,
τὴν ἀπάτην τοῦ βίου τοῦ ῥέοντος,
ἀλλὰ ἀναμένειν,
τὴν ἔλευσιν Κυρίου.

*᾿Ωιδὴ θ΄. Φωτίζου, φωτίζου.*

Χορεύσωμεν πάντες,
τῇ ᾿Αναστάσει τοῦ Χριστοῦ,
καὶ σκιρτήσωμεν μνήμην,
Συμεὼν δοξάζοντες,
ὅπως εὐχαῖς πατρικαῖς ταῖς αὐτοῦ,
θείας ζωῆς καὶ τῆς σωτηρίας, πεποθημένης ἐπιτύχωμεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οὐράνιον δόξαν,
ὢ Συμεὼν περιβληθείς,
τῶν πτωχῶν σου τεκνίων,
μνήσθητι τρισόλβιε·
καὶ ἔνθα σὺ νῦν εὐφραίνῃ φαιδρῶς,
θείαις εὐχαῖς σύναξον ὡς ὄρνις,
ἡμᾶς ὢ πάτερ φιλότεκνε.

Ὑψώθης τρισμάκαρ,
ὡς ταπεινώσας σεαυτόν,
καὶ φορεῖς ἁλουργίδα,
μονοχίτων Ὅσιε·
ὅθεν ἀεὶ Ἱεράν σου Μονήν,
ὢ Συμεὼν φύλαττε καὶ σκέπε,
τοὺς δὲ τιμῶντάς σε ἁγίαζε.

*Θεοτοκίον*

Ἀγάλλεται πᾶσα,
ἡ φύσις Μῆτερ τῶν βροτῶν,
σωτηρίας τυχοῦσα,
χάριτι ἐγέρσεως,
σοῦ γλυκυτάτου Υἱοῦ καὶ Θεοῦ,
Ὃν μητρικῶς ἐκδυσώπει Κόρη,
σὺν Συμεὼν ὑπὲρ τῶν δούλων σου.

*Στίχοι*

*Συμεών, ὢ Δέσποτα, δεήσεις δέχου,*
*Ὑπὲρ τῶν ὅσοι ᾠδαῖς ὑμνούντων τοῦτον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ